# SCHOLIA VETERA IN PINDARI CARMINA

RECENSVIT

A. B. DRACHMANN

## VOL. I
## SCHOLIA IN OLYMPIONICAS

ADIECTA EST TABVLA PHOTOTYPICA

EDITIO STEREOTYPA
EDITIONIS PRIMAE (MCMIII)

STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVII

## Scholia in Olympionicarum carmen XIV.

CDEQ *Ἀσωπίχῳ Ὀρχομενίῳ σταδιεῖ παιδὶ Κλεοδάμου νικήσαντι τὴν ος′ Ὀλυμπιάδα.* sch. inscr. B

BDEQ *Τὸ τεσσαρεσκαιδέκατον εἶδος μονοστροφικόν ἐστιν ἐκ ιη′ κώλων καὶ ιζ′. τὸ α′ Σαπφικὸν ἐννεασύλλαβον. τὸ β′ Φαλαίκιον. τὸ γ′ ἐκ χοριάμβου ⟨καὶ διιάμβου⟩ καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος τρίμετρον ἀκατάληκτον. τὸ δ′ Φερεκράτειον ἀτελές. τὸ ε′ ἐπιωνικὸν ἀπ᾽ ἐλάσσονος τρίμετρον καταληκτικόν. τὸ ϛ′ δακτυλικὴ διποδία ἑξασύλλαβος. τὸ ζ′ ἐκ παιώνων δύο καὶ ἀντισπαστικοῦ πενθημιμεροῦς. τὸ η′ τροχαϊκὸν ἐφθημιμερές. τὸ θ′ ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ [καὶ ἰαμβικῆς βάσεως] πενθημιμεροῦς. τὸ ι′ ἐξ ἀντισπάστου πεντασήμου καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ ια′ ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερές. τὸ ιβ′ δακτυλικὸν πενθημιμερές. τὸ ιγ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὰ ιδ′ ἐξ ἰωνικῆς βάσεως ἀπ᾽ ἐλάττονος καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ ιε′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἐφθημιμερές. τὸ ις′ ἐξ ἰωνικῆς βάσεως ἀπ᾽ ἐλάσσονος καὶ*

---

De β (i. e. Vat. 1333) cfr. praef.

1 *Ἀσωπίῳ Ὀρχομενία* E ‖ *νικ.* — 2 *Ὀλ.* om. C  1 *νικῶντι* DQ  2 *οζ′* D. Utrumque numerum falsum esse ostendit pap. Oxyrh. CCXXII; *ογ′* Gaspar p. 51  3 *Τὸ* — 4 *ιζ′* B: *τοῦ τεσσαρεσκαιδεκάτου εἴδους* E *τὸ εἶδος μονοστροφικόν* (*τὸ μονοστρ. εἶδος* Q) *ἐστιν ἐκ ιη′ καὶ ιζ′* DQ  5 *φαλλαίκιον* E ‖ suppl. Pauw (*καὶ* ego addidi)  6 *τρίμετρον* B: *διμέτρου* D *δίμετρον* EQ ‖ *ἀκατάληκτον* B: *καταληκτικόν* DEQ  7 *τρίμετρ. ἀπ᾽ ἐλ.* DEQ  8 *καταληκτικόν* Q(Tz.): *ἀκατάληκτον* BDE ‖ *δακτυλικὴ* B: *-κὸν* DEQ ‖ *διποδία*] *τετράποδον* D ‖ *ἑξασύλλαβος* ego: *ἑξασύλλαβον*  9 *παιώνων* h: *παιόνων* BDE *παιωνικῶν* Q ‖ *ἀντισπαστικὸν* DE ‖ *πενθημιμεροῦς* Tricl.: *-μερές* codd.  10 *ἐφθημ.* fere D, *εὐθημ.* fere EF; ultra non adnoto  11 *καὶ* (pr.) om. D ‖ *τροχαϊκοῦ* — *πενθημιμεροῦς* BQ (*τροχαϊκῆς* et *πενθημιμερές* B): *τροχ. πενθ. καὶ ἰαμβικόν* D *τροχαικῆς πενθημιμερὲς καὶ ἰαμβικῆς βάσεως* E. *καὶ ἰαμβ. β.* om. Tricl., b *καὶ ἰαμβικῆς* del. Pauw  12 *πεντασήμου* BDE: *ἐξ ἀσήμου* Q  13 *ἀπὸ μείζ. ἰων.* E  15. 16 *τροχαίου* codd.  16 *πενθημιμεροῦς* Pauw: *πενθημιμερές* Q *ἐφθημιμερές* BDE  16. 17 col. *ιε′* om. E  17 *ἐλάττονος* DE

ἰαμβικοῦ ἡμιολίου ἀτάκτου. τὸ ιζ΄ ἐκ χοριάμβου καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ιη΄ ἰαμβικὸν ἑφθημιμερές.

τὰ λοιπὰ ἑπτακαίδεκα οὕτως· τὸ α΄ Φαλαίκιον. τὸ β΄ ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. τὸ γ΄ Ἀλκμαιώνειον δεκασύλλαβον. τὸ δ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ε΄ ἐκ χοριάμβου καὶ ἰαμβικῆς βάσεως. τὸ ϛ΄ χοριαμβικὸν ἑφθημιμερές. τὸ ζ΄ ἐξ ἀντισπάστου καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ η΄ ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. τὸ θ΄ ἐξ ἰωνικῆς βάσεως καὶ τοῦ πεντασήμου καὶ χοριαμβικοῦ καὶ ἰωνικοῦ ἀπὸ μείζονος· τὸ ι΄ Ἀσκληπιάδειον. τὸ ια΄ δακτυλικὴ τριποδία. τὸ ιβ΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ ιγ΄ ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. τὸ ιδ΄ Γλυκώνειον. τὸ ιε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιϛ΄ ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. τὸ ιζ΄ ἰαμβικὸν πενθημιμερές. 1BQ

Inscr. a. Ἀσωπίχῳ Ὀρχομενίῳ σταδιεῖ παιδὶ Κλεοδάμου BEQ νικῶντι τὴν οϛ΄ Ὀλυμπιάδα στάδιον. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται. b. γέγραπ- C ται ὁ ὕμνος Ἀσωπίχῳ τῷ ἀπὸ τῆς Ὀρχομενοῦ, ὃς ἐνίκησεν

---

1 αἰμιολ(ίου) E ‖ ἄτακτος D αἰτάκτας E (corr. ex -της?) F ‖ χοριάμβου Pauw: χοριαμβικοῦ 2 πενθημιμεροῦς Q(Pauw): ἑφθημιμερές BDE 3 τὰ (τὰ δὲ Q) λ. ἑ. οὕτως BQ: τῆς δὲ ἐπῳδοῦ E om. D ‖ Φαλαίκειον Bv 4 ἰαμβικοῦ ego: ἰάμβου ‖ ἑφθημιμεροῦς Q(Pauw): -μερές BDE 4. 5 Ἀλκμαιόν(ε)ιον DE
6 χοριάμβου DQ: χοριαμβικῆς B -ικοῦ E ‖ καὶ ἰαμβ. βάσ. om. Q 7 ἑφθημιμερές BDE: ὑπερκατάληκτον Q δίμετρον ὑπερκ. Tz. Tricl. ‖ ἐξ om. E ‖ ἀντισπάστου Tricl.: ἀντισπαστικοῦ B (add. ἑφθημιμερὲς, sed del.) Q -ικῆς D -ικὸν E 8 τροχαϊκῆς] ἰαμβικ(ῆς) $B^{s}$ ‖ χοριαμβικῆς, om. εἰς D. Ft. ἐκ χοριάμβου εἰς ἀντίσπαστον 9 sq. τὸ θ΄ ἐξ ἀναπαιστικοῦ ἡμιολίου καὶ ἰαμβικοῦ ἡμιολίου QTz.(Tricl.) b. Ft. ἐξ ἰωνικῆς βάσεως τῆς πεντασήμου καὶ χοριαμβικοῦ ⟨ἡμιολίου⟩ καὶ ἰωνικοῦ ἀπ᾿ ἐλάσσονος 9 στάσεως E 11 δακτυλικὸν τρίποδον DQ ‖ ἰαμβικὸν QTz. b: δακτυλικὸν BDE δακτ. πενθημιμερές cj. Pauw
13 -μεροῦς $Q^{ac}$(Pauw): -μερές ‖ Γλυκάνειον E 14 χοριάμβου Beck: χοριαμβικοῦ ‖ ἑφθημιμεροῦς Pauw: -μερές codd.
15 ἰωνικὸν DE 16 Ἀσωπίῳ (sic) — 17 στάδιον E(F): οὗτος ἐνίκησε τὴν οϛ΄ Ὀλ. σταδίῳ BQ 17 Κηφισσὸς EQ
19 Ὀρχομενῶν

*ος' Ὀλυμπιάδα στάδιον. ταῖς Χάρισι δὲ προσφωνεῖ ὁ ποιη-*
*τὴς ταῖς τιμωμέναις κατὰ τὴν Ὀρχομενόν. ὁ δὲ Κηφισσὸς*
*τῆς Ὀρχομενοῦ ἐστι ποταμὸς, ἔνθα καὶ αἱ Χάριτες τιμῶν-*
**BCEQ** *ται.* c. *ταύταις δὲ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ*
*πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος* (fr. 66). *διὰ δὲ τοῦ*
*Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ. δύο δὲ Ὀρχομενοί, ὁ μὲν Μι-*
*νύειος ὁ ἐν Βοιωτίᾳ, ὁ δὲ πολύμηλος ὁ ἐν Ἀρκαδίᾳ. τοῦ*
*δὲ Μινυείου νῦν μέμνηται.* metr. B. 2 Q

**BCDEQ** 1 a. *Καφισίων ὑδάτων λαχοῖσαι: ἐπειδὴ χαριέντως*
*ἀπέβη τοῦ ἀγῶνος τὸ ἐπιχείρημα, προσφωνεῖ ταῖς Χάρισι*
**BDEQ** *τιμωνέναις κατὰ τὸν Βοιωτικὸν Ὀρχομενόν· | αἷς λέγεται*
*πρῶτος Ἐτέοκλος τεθυκέναι ὁ Κηφισοῦ παῖς. ὁ δὲ Κηφι-*
**BCDEQ** *σὸς τῆς Ὀρχομενοῦ ποταμός.* b. *ὁ δὲ νοῦς· ὦ ἀοίδιμοι*
*βασίλειαι Χάριτες, αἳ τὰ τοῦ Κηφισοῦ ὕδατα ἐκληρώθητε*
**BDEQ** *καὶ κατοικεῖτε τὴν εὔγειον Ὀρχομενὸν, | τυγχάνουσαι καὶ τοῦ*
*τῶν Μινυῶν γένους ἐπίσκοποι, ἐπακούσατέ μου νῦν εὐχο-*
*μένου.* inscr. Q

**BCEQ** 2. *αἵτε ναίετε καλλίπωλον ἕδραν: ἱππικοὶ λέγονται*
*οἱ Ὀρχομένιοι. Ἐργῖνος γὰρ ἵππῳ νικήσας Θηβαίους φό-*
*ρου ὑποτελεῖς ἔσχεν, ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσεν.*

**BCDEQ** 5 a. *παλαιγόνων Μινυᾶν: τὸ τῶν Μινυῶν γένος*
*ἀρχαῖον ἀπὸ Μινυοῦ τοῦ Θεσσαλοῦ, Ποσειδῶνος υἱοῦ καὶ*

---

4 Strab. 9, 414. Paus. 9, 35, 1. sch. Theocr. 16, 104   6 sch. AD *B* 511. EM 635, 4. Tzetzes ad Lyc. 874   19 Tzetzes ad Lyc. 874

---

4 *δὲ* **CEQ**: *γὰρ* **Bv** ‖ *ποταμοῦ υἱός* **Q**, om. *τοῦ*   5.6 *τῆς Ὀρχομενῶν* **C**   6 sqq. cfr. Thom. p. 423, 12   6.7 *Μινυήιος* **E**   7 *ὁ* (pr.) om. **Q** ‖ *ὁ* (tert.) om. **Q**   8 *Μινυηίου* **E**   9 l. om. **CDQ**; (*ὁ*) *λόγος πρὸς τὰς Χάριτας* add. **DQ** Tricl. (p. 423, 8 Ab.) ‖ *λαχοῖσαι* om. **E** ‖ *ἐπεὶ* **E**   10 *ἐγχείρημα* **Q**   11 *τὴν Βοιωτικὴν* **D**   12 *ὁ Κηφ. παῖς τεθυκέναι* **Bv** ‖ *ὁ δὲ* — 13 *ποταμός* om. **D**   13 *τοῦ Ὀρχ.* Beck ‖ *ποταμοῦ* **E** ‖ *ὃ δὲ ν. οὕτως* **Bv**   14 *ἐκληρώσασθε* **Bv**   15 *τὴν*] *τὸν* **EF**   15.16 *τὰ τῶν Μιν.* **D**, om. *γένους*   19 *ἵππῳ* om. **EF** ‖ *Θήβας* **B**[1]   20 *αὐτοὺς* **CQ**Tz.: *αὐτ(ὰς?)* **B** om. **EF**   21 l. **B**: *Μινυᾶν ἐπίσκοποι* **DEQ** om. **C**   22 *Μινύου* **E** ‖ *Ποσ. υἱοῦ* **DEFQ**: *Μινυὸς* (*Μινύας* **C**) *δὲ ἐκ* (*ἀπὸ* **C**) *Καλλιρόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος* **BCv** (et Thom. p. 423, 14); cfr. sch. 5 c

τοῦ γένους τῶν Ἀργοναυτῶν. b. πλησιόχωροι καὶ γείτονες
οὗτοι οἱ Μινυΐδαι Ὀρχομενίων. c. ἀπὸ Μινύου. Μινύας EFQ
δὲ ἐκ Καλλιρρόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος. d. ὁ δὲ BCEQ
Μινύας πρῶτος ἦρξεν Ὀρχομενοῦ.

7 a. *σὺν γὰρ ὑμῖν τὰ τερπνά*: μεθ' ὑμῶν γάρ, ὦ BCDEQ
Χάριτες, τὰ ἐπιτερπῆ καὶ ἡδέα γίνεται καὶ συμβαίνει τοῖς
ἀνδράσι. | καὶ εἴτε σοφός, ὡς Ὅμηρος, δι' ὑμᾶς· οἱ γὰρ BDEQ
ἐπιχαρεῖς λόγοι δι' ὑμᾶς πᾶσι μόνιμοι διὰ παντός.

8 a. *εἴ τις ἀγλαός*: ἀνδρεῖος νῦν· αι γὰρ τρεῖς ἀρε- BCDEQ
ταὶ δι' ὑμᾶς, ἡ σοφία, τὸ κάλλος, ἡ ἀνδρεία. b. αὗται C
δὲ αἱ Χάριτες τιμῶνται παρὰ τῷ ναῷ τοῦ Ἀπόλλωνος.

12 a. *κοιρανέοντι χορούς*: ἤτοι ὑπὸ τὴν ἐξουσίαν BCDEQ
ἔχουσι τοὺς χορούς· ἢ βασιλεύουσι τῶν χορῶν, ἵνα πτῶσις
ἀντὶ πτώσεως ᾖ, αἰτιατικὴ ἀντὶ γενικῆς. b. τὸ δὲ *οὔτε* BC
*δαῖτας*, ἀντὶ τοῦ οὔτε τῶν εὐωχιῶν καὶ θυσιῶν. c. ἀλλὰ BCE
καὶ τῶν ἐν οὐρανῷ πάντων προστατοῦσι καὶ κρατοῦσιν αἱ
Χάριτες. d. τὸ δὲ *γίνεται* ἀντὶ τοῦ ἀνύεται. CN

16 a. *χρυσότοξον θέμεναι παρὰ Πύθιον Ἀπόλ-* BCDEQ
*λωνα*: παρὰ τῷ Ἀπόλλωνί φησι καθέζεσθαι τὰς Χάριτας
διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα. ἐν γοῦν Δελφοῖς ἐπὶ τῆς

---

2 Tzetzes ad Lyc. 874  20 Macrob. Sat. 1, 17, 13. Plut. de mus. 14. Paus. 9, 35, 3

---

1 post Ἀργον. inser. sch. 5 d **C** ‖ καὶ **E**: δὲ καὶ **BC** om. **DQ**  2 οὗτοι τῶν Ὀρχ. ἤτοι οἱ Μινυίδαι **D** ‖ Μινυάδαι cj. **h** ‖ sch. 5 c ἄλλως praem. **F** ‖ ἀπὸ om. **Q**  3 δὲ om. **Q** ‖ Καλλιρρόης **v**, Tz.: Καλλιρόης ‖ δὲ **CEQ**: γὰρ **Bv**  4 Μινυὸς **BC**^pc **v** ‖ Ὀρχομενίων **Qv**  5 σὺν γὰρ om. **CDEQ** ‖ ὑμῖν] ἡμῖν **E** ἡμῶν? **Q**^ac  6 ἐπιτερπῆ καὶ ἡδέα **CE**: ἡδέα καὶ ἐπιτερπῆ **DQ** ἐπιτ. τε καὶ ἡδ. **Bv**  7 καὶ — ὑμᾶς om. **D** ‖ εἴ τις cj. Mommsen suppl. p. 196 ‖ οἱ — 8 ὑμᾶς om. **B**  8 λόγοι **E**: om. **DQ** ‖ πᾶσι corrupt. vid. ‖ μόνιμοι **DEQ**: διαμόνιμος [B]β λόγιμοι cj. Faehse syllog. p. 404  9 εἴ τις (τε **D**^ac **h**) ἀγλαὸς (ἀνήρ add. **E**) ἀνδρεῖος νῦν αἱ γὰρ (νῦν γὰρ αἱ **DQ**) **DEFQ**: ἀγλαὸς δὲ νῦν ὁ ἀνδρεῖος αἱ γὰρ **BC**  10 τὸ κάλλος, ἡ σοφία **E** ‖ καὶ ἡ ἀνδρ. **Q**  13 ἔχοντι **B** ‖ ἵνα — 14 ᾖ om. **D**  14 ᾖ **BC**: ἡ **EQ** ‖ αἰτ. ἀντὶ γεν. om. **C**  15 τῶν om. **C** ‖ ἀλλὰ om. **E**  16 προστάττουσι **v** (corr. **h**) ‖ καὶ (alt.) om. **E** ‖ καὶ κρατ. om. **C**  17 γίνεται] scribend. ἄνεται vidit Schroeder ‖ τανύεται **N**  18. 19 l. **B**: χρυσότοξον παρὰ Πύθιον **DEQ** χρυσότοξον θέμεναι **C**  20 πρὸς] εἰς **v** ‖ Δελφοῖς] Δήλῳ exspectes

C δεξιᾶς εἰσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος. b. σέβουσι δὲ τὴν
BDEQ τοῦ Διὸς τιμὴν τὴν αἰώνιον. c. πλησίον γὰρ τοῦ χρυσο-
τόξου Ἀπόλλωνος ἀποθέμεναι τοὺς ἑαυτῶν θρόνους καὶ ἐγγὺς
αὐτοῦ ἱδρυμέναι ἀέναον καὶ ἀθάνατόν οὖσαν τὴν τοῦ πα-
BE τρὸς αὐτῶν τιμὴν Διὸς σέβουσιν. d. ἀέν ναον κυρίως μὲν
τὸ ἀεὶ ἐν τῷ ῥεῖν καὶ νάειν ὄν· νῦν δὲ τὸ αἰώνιόν φησιν.
BCDEQ e. ἀντὶ τοῦ ἀνελλιπῶς καὶ αἰωνίως παρὰ τῷ Διὶ τιμῶν-
ται τῷ ἐν οὐρανῷ ὄντι.

B(C)DEQ 19 a. πότνια Ἀγλαΐα: ἀπὸ τοῦ περὶ αὐτῶν λόγου
μετῆλθεν ἐπὶ τὸν πρὸς αὐτάς. b. ὦ σεμνὴ καὶ τιμία
Ἀγλαΐα, καὶ Εὐφροσύνη ἡ τοῖς ὕμνοις χαίρουσα, τοῦ τῶν
BCDEQ θεῶν κρατίστου παῖδες Διός. 21$^{a}$ C c. τὰ δὲ ὀνόματα τῶν
τριῶν κατέλεξεν Ἡσίοδος (th. 906. 908)·

τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ᾽ ἐρατεινήν.

B(C)DEQ 20 a. κρατίστου παῖδες: οὐχ ὅτι κρατίστους ἔχουσι
BEQ παῖδας, ἀλλ᾽ ὅτι αὐταὶ κράτισται παῖδές εἰσι· | νέαι γάρ.
BCEQ b. αἱ κράτισται τῶν παίδων τῶν θεῶν. | c. ἢ τῶν κρα-
τίστων θεῶν παῖδες. 21$^{b}$ C

BCEQ 21 a. ἐπήκοοι: γίνεσθε δηλονότι· τοῦτο γὰρ λείπει.
BCDEQ 28 BEQ 19$^{c}$ C b. Θάλεια δὲ ἡ Χάρις παρὰ τὸ τεθηλέναι

---

5 Suid. ἀέναον.

---

1 τοῦ Ἀπ. om. C 2 sch. 16c ὁ δὲ νοῦς praem. Bv, ἄλλως E ‖ πλησίον — 3 Ἀπόλλωνος om. DQ 3 θέμεναι D 4 ἄφθαρτον v 5 sch. 16d post 16e E ‖ ἀένν. δὲ Bv 7 ἀντὶ DEQ: ἢ ἀντὶ BCv ‖ Διὶ] πατρὶ Διὶ BCv 8 οὐρανοῖς D 9 αὐτῶν B: αὐτὸν CDEQ ‖ λόγον Q$^{pc}$ 10 sch. 19b ὁ δὲ λόγος praem. Bv, καί φησιν C 11 ἡ] καὶ E 12 post sch. 19b add. ἐπήκοοι νῦν· λείπει γίνεσθε (γένεσθε E) BE; cfr. sch. 21a 13 κατέλεξεν CE: καταλέγει DQv κατὰ λέξιν Bβ, add. (post Ἡσ.) φησιν 14 τέκε Χάριτας D(Q) 15 Θαλείην CE 16 l. DEQ: ἄλλως B θεῶν κρατίστου C. κρατιστόπαιδες explicari perspexit de Jongh 16.17 κρατίστου ἔχουσι παῖδες Q 17 αὐταὶ Stephanus: αὗται ‖ κράτιστοι CD ‖ νέαι BQ: ἔαι E 18.19 ἢ τοῦ κρατίστου τῶν θ. π. εἰσιν (del. C) ἢ (ἤγουν C$^{s}$) τοῦ Διὸς, ὃ κρεῖττον C 19 [παῖδες] B, om. v 20 sch. 21a ἐπάκοοι νῦν praem. B ‖ ἐπήκοοι γίνεσθε δηλονότι EQ: ἐπήκ. νῦν γίνεσθε B ἐπ. γένεσθε C ‖ λείπει CEQ: λέγει B 21 Θαλία DQ ‖ δὲ om. Cv ‖ ἡ Χάρις] χωρὶς E 21sq. τεθηλέναι ποιεῖν τὴν μν. C

*τὴν μνήμην τῶν εὖ πεπονθότων.* c. *τὸ δὲ ἰδοῖσα ἔνιοί* DEQ
*φασι πρὸς τὴν τρίτην Θαλίαν λέγεσθαι.* d. *τὸ ἰδοῖσα* BCDEQ
*κοινὸν ἐπὶ ὅλων· ἰδοῖσα ὦ Εὐφροσύνη, ἰδοῖσα ὦ Θάλεια, ἰδοῖσα ὦ Ἀγλαΐα. θεασάμεναι τοῦτον τὸν χορὸν σὺν εὐμενεῖ τύχῃ εὐκόλως χορεύοντα, ἀπὸ κοινοῦ, ἐπήκοοι γίνεσθε.*
e. *ἔνιοι δέ φασι πρὸς τὴν τρίτην Θάλειαν τοῦτο λέ-* BC
*γεσθαι.* $26^{b}$ C f. *ὅτι δὲ τρεῖς εἰσι, καὶ Ἡσίοδος ἐν Θεο-* BEQ
*γονίᾳ* (l. l.) *λέγει.* 20 BEQ

23 a. *⟨ἐπ' εὐμενεῖ τύχᾳ:⟩ ἐπ' εὐδαιμονίᾳ καὶ εὐ-* BEQ
*μοιρίᾳ.* $21^{b}$ BEQ

23 b. *τὸ κοῦφα βιβῶντα ἀντὶ τοῦ εὐκόλως προβαί-* C
*νοντα.* c. *ἐν Λυδῷ τρόπῳ καὶ ῥυθμῷ καὶ μουσικῇ.* $27^{b}$ C

26 a. *ἐν μελέταις τε ἀείδων: ἐπιμελείαις· ἔνθεν καὶ* BEQ
*ἡ μέλισσα τὸ ζῷον, ὃν ἐπιμελέστατον.* b. *ἦλθον οὖν, φη-* BCE
*σιν, ὑμνήσων τὸν Ἀσώπιχον ἐμμελῶς καὶ ἡδέως.* $28^{b}$ C

27 a. (*ἔμολον:*) *ὅρα τὸ μέτρον.* $B^{gl}$

27 b. *Ὀλυμπιόνικος ἁ Μινυεία: Ὀρχομενὸς γὰρ Μι-* DEQ
*νύειος πόλις.* c. *ὁ δὲ Ἀρίσταρχος· ἰδίως, φησί, προτάξας* BCDEQ
*τὰ ὀνόματα τῶν Χαρίτων ἑνικῶς ἐφώνησε· σεῦ ἕκατι, ὦ Χάρι. προσφωνοῦσί τε οἱ ποιηταὶ τοὺς χοροὺς τοὺς ἐκ πλήθους συνεστῶτας ἑνικῶς. βεβιασμένον οὖν νυνὶ προτάξαντα τὰ ὀνόματα λέγειν ἕκατί σου ἑνικῶς.* d. *ἢ ὅτι πρὸς αὐ-* BDEQ

---

2 sch. 21 d *ἄλλως* praem. **EQ** ‖ *τὸ δὲ ἰδοῖσα* **BC** 3 *κοινῶς* **DQ** ‖ *ἰδοῖσα ὦ Ἐ.* — 4 *Ἀγλ.* om. **D** ‖ *ἰδοῦσα* ubique **C**, bis **B** ‖ *σωφροσύνη* [**B**]β 4 *χορὸν*] *χρόνον* **D** *ὕμνον* **Q** 5 *εὐκόλως*] *οὐχ ὅλως* **E** ‖ *κοινοῦ*] *κοινοῦ δὲ* **E** (*ἀπὸ κ. γὰρ τοῦτο* **C**, post *γίνεσθε*) ‖ *γένεσθε* **E** 7. 8 *μαρτυρεῖ ἐν Θεογ.* **Q** 9 l. addidi 9. 10 *καὶ εὐμοιρ.* om. **E** ‖ *ἐπὶ εὐμοιρ. καὶ εὐδ.* **Q** 11 *τὸ* $C^{3}$: *τῷ* $C^{1}$ 12 *μουσικῷ*: ego 13 l.] *ἀείδων ἔμολον* **C** ‖ *τε* om. **Bv** ‖ *ἐπιμελείαις* **E**: *ἤτοι ἐπιμ.* **Bv** om. **Q** 14 sch. 26 b *ἔμελλον* (h. e. *ἔμολον*) praem. **E** ‖ *οὖν* — 15 *τὸν*] lac. **E** (*καὶ γὰρ ἦλθον* **C**, om. *οὖν φησιν*) 15 *Ἀσώπιον* **CE** ‖ *ἐμμελῶς* **CE**: *εὐμελῶς* **Bv** 17 *ἀμινύεια* **D** *ἀμινυεία* **E** *ἁ μινύεια* **Q** 17. 18 *Μινύειος πόλις* **E**: *ἡ Μινύεια ποίησις* **D** *Μινύειος ἡ ποίησις* **Q** 18—22 parum integra 18 *τὸ σεῦ ἕκατι ὁ μὲν Ἀρ. ἀντὶ τοῦ ὑμῶν φησιν εἶναι· ἰδίως γάρ φησι προστάξας* **C** ‖ *ἰδίους* **E** 19 *ἑνικῶς* — 21 *συνεστῶτας* om. **E** 19 *σεῦ* — 20 *Χάρι* om. **C** 20 *τε* **BDQ**: *γὰρ* **C** *δὲ* Beck (Schroeder) ‖ ⟨*καὶ*⟩ *τοὺς χ.*? Schroeder 22 *τὸ ὄνομα* **DEQ** ‖ *λέγει* **DQ** ‖ *ἕκατι* — p. 394, 1 *νικηφ.* om. **D** 22 *ἢ* **B**: om. **EQ**

*τὸν λέγει τὸν νικηφόρον.* e. *ὁ δὲ νοῦς· διότι τούτου δραμόντος ἔδοξεν Ὀλυμπιόνικος ἀναγορεύεσθαι ἡ τῶν Μινυῶν πόλις σοῦ ἕνεκεν. τὸ δὲ σοῦ ὡς πρὸς ἑκάστην ἰδίᾳ. καὶ* BEQ *τοῦτο οὖν κοινὸν ὅλων.* 28$^{c}$ Q f. *σοῦ ἕκατι, ὦ νικηφόρε.* g. *ἢ πρὸς μίαν τῶν Χαρίτων ἀπὸ τοῦ πλήθους μετ-* C *έβη.* subscr. Q h. *οἱ δὲ τὸ ἕκατι σοῦ ὡς πρὸς μίαν ἑκάστην ἰδίᾳ. ἢ πρὸς αὐτὸν τὸν νικηφόρον· ὅτι σοῦ ἕνεκεν, Ἀσώπιχε, ἔνδοξός ἐστιν ἡ Μινυείη ἥ τε Ὀρχομενὸς ὡς νικήσαντος.*

B(C)EQ 28a. *μελαντειχέα νῦν δόμον Φερσεφόνας ἐλθὲ Ἀχοῖ: παραγενοῦ πρὸς τὸν σκοτεινὸν οἶκον, ὦ Φήμη καὶ Ἠχώ, διηγησομένη καὶ ἀγγελοῦσα τὴν καλλίστην ἀγγελίαν* EQ *τῷ πατρὶ Ἀσωπίχου Κλεοδάμῳ.* b. *οἰκείως τὸν δόμον τῆς Περσεφόνης μελαντειχέα εἶπεν.* 27$^{f}$ Q

DEQ 28c. *μελαντειχέα δόμον ἐλθὲ Ἀχοῖ: ἐλθὲ νῦν, Ἠχώ, εἰς τὸν τῆς Περσεφόνης δόμον, ἵνα τὸν Κλεόδαμον* B(C)DEQ *ἰδοῦσα | περὶ τοῦ υἱοῦ αὐτοῦ εἴπῃς ὅτι ὁ υἱὸς αὐτοῦ ἐστεφάνωσε τὴν χαίτην, τουτέστιν, ἵν' εἴπῃς αὐτῷ τὸν υἱὸν αὐτοῦ νενικηκέναι καὶ νεώτερον ἐόντα.* d. *ἐν τῇ ἐνδοξοτάτῃ Ὀλυμπίᾳ ἐστέφθαι τοῖς τῆς ἀθλήσεως στέμμασι τὰς κόμας τὰς νεωτέρας αὐτοῦ. ἀπὸ μέρους δὲ τὸ τῆς ἡλικίας νέον λέγει.* 28$^{a}$ Q

E 33. *κόλποις παρ' εὐδόξοιο Πίσας: ἐν Ὀλυμπίᾳ.*

---

1 *διότι*] *διὰ* E ‖ *τούτου*] *τοῦ* D 2 *Ὀλυμπιόνικος* Beck: *πολύνικος* Bβ *ὁ πολύνικος* DEQ 3 *σοῦ ἕνεκεν τὸ δὲ σοῦ* DEQ: *τὸ δὲ σοῦ ἕνεκεν* Bv ‖ *ἑκάστου* DQ 4 *οὖν* DEQ: *μὲν* Bv ‖ *σοῦ ἕκατι ὦ νικηφόρε* EQ: *ἔνιοι δὲ τὸ σεῦ ἕκατι, ἀντὶ τοῦ σοῦ ἕνεκεν, ὦ νικηφόρε* Bv 8 *Ἀσώπιχος* 10 *νῦν*] *νῦν τὸν* E 10.11 *Φ. ἐλθὲ Ἀχοῖ* om. EQ 11 *παραγενοῦ* EQ: *παραγενοῦ νῦν φησιν* BCv ‖ *πρὸς* EQ: *εἰς* BCv ‖ *οἶκον* EQ: *τῆς Περσεφόνης οἶκον* BCv 12 *διηγησαμένη καὶ ἀγγέλλουσα* E (*ἀγγέλλ.* et Q$^{ac}$?) ‖ *καλὴν* E 13 *οἰκείως τὸν δόμον* Q: lac. E 15 *ἐλθὲ Ἀχοῖ* om. D ‖ *νῦν* DQ: *οὖν* E 16 *τῆς* om. DQ 17 *εἴπῃς* om. Bv 18 *αὐτῷ*] *αὐτοῦ* Q 19 *αὐτοῦ* BE: om. DQ ‖ *ἐόντα* BD: *ἐόντα δὲ* Q *ἐόντα καὶ* E om. C 20 *ἐστέφθη* C *ἐστέμφαι* E 22 *νέον*] *μέρος* D 23—p. 395, 2 sic E: *ἐν ὀλυμπία* lac. *πτεροῖς ἐν τοῖς καλλικόλποις παρ' εὐδόξοιο πίσας τοῖς στεφάνοις λέγει· πτεροῖς δὲ εἶπε στεφάνου. ἐστεφάνωσε κυδίμων ἀέθλων· ἐπειδὴ — στέφανος*

35 a. *πτεροῖσι:* τοὺς στεφάνους λέγει· ἐπειδὴ ἐπαί-ρει τοὺς νικῶντας ὁ στέφανος. b. ἢ παρόσον ὁ στε-φανούμενος γάννυται καὶ οἷον ὑπόπτερος καὶ μετάρσιος γί-νεται. CE C

*Πινδάρου τέλος Ὀλυμπιονίκων.* DGQ
*Πινδάρου ἐπινίκιοι Ὀλυμπιονικῶν.* B

---

1 πτεροῖσι· πτερὰ νῦν τοὺς στεφάνους λέγει C 3 γάν-νυται 5 τέλος Π. Ὀλ. Q (bis)